ἐπεὶ δὲ καὶ τοῦτ᾽ ἦν φόβου πολλοῦ πλέων,
μή τῳ λαθραίως τέκνα γενναίῳ τέκοι,
κτανεῖν σφε βουλεύσαντος ὠμόφρων ὅμως
μήτηρ νιν ἐξέσωσεν Αἰγίσθου χερός.
εἰς μὲν γὰρ ἄνδρα σκῆψιν εἶχ᾽ ὀλωλότα,
παίδων δ᾽ ἔδεισε μὴ φθονηθείη φόνῳ.
ἐκ τῶνδε δὴ τοιόνδ᾽ ἐμηχανήσατο
Αἴγισθος· ὃς μὲν γῆς ἀπηλλάχθη φυγὰς
Ἀγαμέμνονος παῖς, χρυσὸν εἶφ᾽ ὃς ἂν κτάνῃ,
ἡμῖν δὲ δὴ δίδωσιν Ἠλέκτραν ἔχειν
δάμαρτα, πατέρων μὲν Μυκηναίων ἄπο
γεγῶσιν· οὐ δὴ τοῦτό γ᾽ ἐξελέγχομαι·
λαμπροὶ γὰρ εἰς γένος γε, χρημάτων γε μὴν
πένητες, ἔνθεν ηὑγένει᾽ ἀπόλλυται·
ὡς ἀσθενεῖ δοὺς ἀσθενῆ λάβοι φόβον.
ἥν οὔποθ᾽ ἁνὴρ ὅδε, σύνοιδέ μοι Κύπρις
ᾔσχυνεν εὐνῇ· παρθένος δ᾽ ἔτ᾽ ἐστὶ δή.
αἰσχύνομαι γὰρ ὀλβίων ἀνδρῶν τέκνα
λαβὼν ὑβρίζειν, οὐ κατάξιος γεγώς.
στένω δὲ τὸν λόγοισι κηδεύοντ᾽ ἐμοὶ
ἄθλιον Ὀρέστην, εἴ ποτ᾽ εἰς Ἄργος μολὼν
γάμους ἀδελφῆς δυστυχεῖς εἰσόψεται.
ὅστις δέ μ᾽ εἶναί φησι μῶρον, εἰ λαβὼν
νέαν ἐς οἴκους παρθένον μὴ θιγγάνω,
γνώμης πονηροῖς κανόσιν ἀναμετρούμενος
τὸ σῶφρον ἴστω καὐτὸς ἂν τοιοῦτος ὤν.
ΗΛ. ὦ νὺξ μέλαινα, χρυσέων ἄστρων τροφέ,
ἐν ᾗ τόδ᾽ ἄγγος τῷδ᾽ ἐφεδρεῦον κάρᾳ
φέρουσα πηγὰς ποταμίας μετέρχομαι.

---

*εἰ γάρ νιν ἔσχεν ἀξίωμ᾽ ἔχων ἀνήρ,*
*εὕδοντ᾽ ἂν ἐξήγειρε τὸν Ἀγαμέμνονος*
*φόνον δίκη τ᾽ ἂν ἦλθεν Αἰγίσθῳ τότε.*

---

27. *σφε βουλεύσαντος ὠμόφρων*] Seidlerus, *σφ᾽ ἐβουλεύσαντ᾽· ὠμόφρων δ᾽* codex. 32. *φυγάς*] Victorius, *φύλαξ* codex. 33. *εἶπεν* codex. 37. *γε μήν*] Stobaeus, *δὲ δή* codex. 43. *ἀνήρ* codex. 53. *ἂν*] Nauckius, *αὖ* codex.